καὶ κύνας, οὔποτέ οἱ θυμὸς ἐν εὐφροσύνῃ.

ὦ παῖ, κινδύνοισι πολυπλάγκτοισιν ὁμοῖος
ὀργήν, ἄλλοτε τοῖς, ἄλλοτε τοῖσι φιλεῖν.

ὦ παῖ, τὴν μορφὴν μὲν ἔφυς καλός, ἀλλ' ἐπίκειται
καρτερὸς ἀγνώμων σῇ κεφαλῇ στέφανος·
ἰκτίνου γὰρ ἔχεις ἀγχιστρόφου ἐν φρεσὶν ἦθος,
ἄλλων ἀνθρώπων ῥήμασι πειθόμενος.

⊗ ὦ παῖ, ὃς εὖ ἔρδοντι κακὴν ἀπέδωκας ἀμοιβήν,
οὐδέ τις ἀντ' ἀγαθῶν ἐστι χάρις παρὰ σοί·
οὐδέν πώ μ' ὤνησας· ἐγὼ δέ σε πολλάκις ἤδη
εὖ ἔρδων αἰδοῦς οὐδεμιῆς ἔτυχον.

παῖς τε καὶ ἵππος ὁμοῖον ἔχει νόον· οὔτε γὰρ ἵππος
ἡνίοχον κλαίει κείμενον ἐν κονίῃ,
ἀλλὰ τὸν ὕστερον ἄνδρα φέρει κριθαῖσι κορεσθείς·
ὣς δ' αὔτως καὶ παῖς τὸν παρεόντα φιλεῖ.

ὦ παῖ, μαργοσύνῃς ἀπό μευ νόον ὤλεσας ἐσθλόν,
αἰσχύνη δὲ φίλοις ἡμετέροις ἐγένου·
ἄμμε δ' ἀνέψυξας μικρὸν χρόνον· ἐκ δὲ θ⟨υ⟩ελλῶν
ἦκά γ' ἐνωρμίσθην νυκτὸς ἐπειγόμενος.

ὡραῖος καὶ Ἔρως ἐπιτέλλεται, ἡνίκα περ γῆ
ἄνθεσιν εἰαρινοῖς θάλλει ἀεξομένη·
τῆμος Ἔρως προλιπὼν Κύπρον περικαλλέα νῆσον
εἶσιν ἐπ' ἀνθρώπους σπέρμα φέρων κατὰ γῆς.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/260 UNIVERSITÄT LEIPZIG